καίτοι σφόδρα ἐρημοτάτου ὄντος τοῦ χωρίου. Ἀλλ' ἔτυχεν ὁ δεσπότης μου Διόσκορος ἐνταῦθα ὤν, ὃς καὶ εἰς Καισάρειαν ἀπέστειλεν οἰκέτην εἰς αὐτὸ τοῦτο, παρακαλῶν καὶ δεόμενος μὴ προτιμῆσαι τῆς αὐτοῦ οἰκίας ἑτέραν καὶ ἕτεροι δὲ πλείους. Ἀλλ' ἀναγκαῖον ἐνόμισα τῶν ἄλλων τοῦτον προτιμῆσαι καὶ κατήχθημεν ἐν τοῖς αὐτοῦ. Καὶ πάντα ἡμῖν αὐτὸς γίνεται, ὡς καὶ καταβοᾶν αὐτοῦ συνεχῶς διὰ τὴν πολλὴν αὐτοῦ δαψίλειαν καὶ τὴν ἀφθονίαν ἣν βούλεται παρέχειν. Δι' ἡμᾶς γοῦν καὶ μετέστη χωρίον οἰκῶν, ὥστε παντὶ θεραπεῦσαι τρόπῳ, τήν τε οἰκίαν ἡμῖν κατασκευάζει πρὸς χειμῶνα ἐπιτηδείαν πάντα ποιῶν ὑπὲρ τούτου καὶ πραγματευόμενος, καὶ ὅλως οὐδὲν ἐλλέλειπται θεραπείας ἕνεκεν. Καὶ ἕτεροι δὲ πολλοὶ ἐπίτροποι καὶ οἰκονόμοι, παρὰ τῶν δεσποτῶν τῶν ἑαυτῶν κελευσθέντες διὰ γραμμάτων, συνεχῶς παραγίνονται ἕτοιμοι κατὰ πάντα τρόπον ἡμᾶς ἀναπαῦσαι.

c. Ταῦτα δὲ πάντα εἴρηκα, καὶ τὰ μὲν ἀπωδυράμην τὰ πρότερα, τὰ δὲ εἶπον τὰ χρηστά, ἵνα μὴ προπετῶς τις ἡμᾶς ἐντεῦθεν ἐγείρῃ. Εἰ μὲν γὰρ οἱ βουλόμενοι δοῦναι ἡμῖν τὴν χάριν κυρίους ἡμᾶς ποιοῖεν τοῦ εἶναι ὅπου βουλόμεθα, καὶ μὴ πάλιν ἕτερον ἡμῖν μέλλοιεν ἀποκληροῦν τόπον ὃν ἂν ἐθέλωσι, κατάδεξαι τὴν χάριν. Εἰ δὲ ἔνθεν ἡμᾶς ἀνιστάντες εἰς ἕτερον μέλλοιεν πέμπειν τόπον — καὶ πάλιν ὁδός, καὶ πάλιν ἀποδημία —, ἐμοὶ σφόδρα τοῦτο χαλεπώτατον· πρῶτον μὲν μήποτε εἰς μακρότερον ἢ εἰς χαλεπώτερον ἡμᾶς πέμψωσι χωρίον· ἔπειτα δὲ ὅτι μυρίων ἐξοριῶν ἐμοὶ τὸ ὁδεύειν χαλεπώτερον. Καὶ γὰρ εἰς αὐτὰς ἡμᾶς κατήνεγκε τοῦ θανάτου τὰς πύλας ταύτης τῆς ἀποδημίας ἡ δυσκολία. Καὶ διατρίβομεν νῦν ἐν Κουκουσῷ τῇ διηνεκεῖ καθέδρᾳ καὶ ἡσυχίᾳ ἀνακτώμενοι ἑαυτοὺς καὶ τὴν ἐν τῷ μακρῷ χρόνῳ γενομένην ἡμῖν ταλαιπωρίαν καὶ τὰ συντετριμμένα ἡμῶν ὀστᾶ καὶ τὴν ταλαιπωρηθεῖσαν σάρκα διὰ τῆς ἡσυχίας θεραπεύοντες.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417080204/22 UNIVERSITÄT LEIPZIG